'εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἵμασιν ἀμφεπονήθη',

τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευκε. πάλιν δ' ὁ μὲν Εὐριπίδης εἰπὼν ἐν ὅρκῳ (Phoen. 1006)

'μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρη τε φοίνιον'

αὐτοὺς τοὺς θεοὺς ὠνόμακε· τοῦ δὲ Σοφοκλέους λέγοντος (fr. 754)

'τυφλὸς γάρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης
C συὸς προσώπῳ πάντα τυρβάζει κακά'

τὸν πόλεμον ἔστιν ὑπακοῦσαι, καθάπερ αὖ τὸν χαλκὸν Ὁμήρου λέγοντος (Η 329)

'τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης.'

πολλῶν οὖν οὕτω λεγομένων εἰδέναι δεῖ καὶ μνημονεύειν ὅτι καὶ τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι ποτὲ μὲν τὸν θεὸν ποτὲ δὲ τὴν τύχην πολλάκις δὲ τὴν εἱμαρμένην προσαγορεύουσιν. ὅταν μὲν γὰρ λέγωσι 'Ζεῦ πάτερ, Ἴδηθεν μεδέων' (Hom. Γ 276 et alibi) καί (Tr. adesp. 351)

D 'ὦ Ζεῦ, τίς εἶναί φησι σοῦ σοφώτερος;'

τὸν θεὸν αὐτὸν λέγουσιν· ὅταν δὲ ταῖς αἰτίαις τῶν γιγνομένων πάντων ἐπονομάζωσι τὸν Δία καὶ λέγωσι (Α 3)

'πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν
— — Διὸς δ' ἐτελείετο βουλή',

τὴν εἱμαρμένην. οὐ γὰρ τὸν θεὸν ὁ ποιητὴς οἴεται κακὰ μηχανᾶσθαι τοῖς ἀνθρώποις, ἀλλὰ τὴν τῶν πραγμάτων ἀνάγκην ὀρθῶς ὑποδείκνυσιν ὅτι καὶ πόλεσι καὶ στρατοπέδοις καὶ ἡγεμόσιν, ἂν μὲν σωφρονῶσιν, εὖ πράττειν πέπρωται καὶ κρατεῖν τῶν πολεμίων, ἂν δ' εἰς πάθη καὶ ἁμαρτίας ἐμπεσόντες
E ὥσπερ οὗτοι διαφέρωνται πρὸς ἀλλήλους καὶ στασιάζωσιν, ἀσχημονεῖν καὶ ταράττεσθαι καὶ κακῶς ἀπαλλάττειν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/52 UNIVERSITÄT LEIPZIG